www.tezaurliturgic.ro

# ΙΟΥΝΙΟΥ Θ΄
# ΜΝΗΜΗ ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ
# ΠΕΝΤΕ ΚΑΝΟΝΙΚΩΝ ΠΑΡΘΕΝΩΝ
# ΜΑΡΙΑΣ ΜΑΡΙΑΜΝΗΣ ΜΑΡΘΑΣ ΘΕΚΛΑΣ ΚΑΙ ΕΝΝΑΘΑ*

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ προσόμοια.

Ἦχος πλ. δ΄. Τριήμερος ἀνέστης.

Πεντάριθμοι Παρθένοι Χριστοῦ, ὁσίως αἱ ἀσκήσασαι, καὶ κτανθεῖσαι ὡς ἀμνάδες λογικαί, χερσὶ τοῦ ἀνιέρου, ὑπὲρ ἡμῶν ἀπαύστως, ἐκδυσωπεῖτε τὸν Φιλάνθρωπον.

Κοσμήσασαι λαμπάδας ψυχῆς, ἐλαίῳ τῆς ἀσκήσεως, εἰς νυμφῶνα τοῦ Κυρίου τὸν φαιδρόν, εἰσήλθετε αἱμάτων, ῥοαῖς πεφοινιγμέναι, Παρθένοι πέντε παμμακάριστοι.

Τυράννου μὴ πεισθεῖσαι σεμναί, τῷ δόγματι ἠθλήσατε, τὴν τοῦ ξίφους ἐνεγκοῦσαι ἐκτομήν, ὡς πόθῳ τοῦ Νυμφίου, ἐνθέως τετρωμέναι, Παρθένοι πέντε ὑπερθαύμαστοι.

Πρεσβεύετε ἀπαύστως Χριστῷ, Μαρία Μαριάμνη τε, Μάρθα Θέκλα καὶ ὀλβία Ἐνναθᾶ, ὑπὲρ τῶν ἐκτελούντων, εὐσχήμοσιν ἐν ὕμνοις, τὸ ἱερὸν ὑμῶν μνημόσυνον.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Πεντάριθμοι Παρθένοι Χριστοῦ, οὐδὲν ὑμᾶς τῆς ἀγάπης πρὸς αὐτόν, μεταστῆσαι ἴσχυσεν, οὐκ ἐπαγγελιῶν παροχαί, μηδὲ βασάνων ἀπειλαί, οὐδ᾽ αὐτὸς ὁ θάνατος· πάντα γὰρ ἐν αὐτῷ ὑπεμείνατε, ᾧ καὶ ἐνυμφεύθητε μυστικῶς, προῖκα αὐτῷ τὸ αἷμα προσάξασαι. Διὸ αἰτεῖσθε ἡμῖν, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος, ὡς πολλὴν παῤῥησίαν ἔχουσαι.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

---

* Ἡ Ἀκολουθία τῶν ἁγίων πέντε κανονικῶν Παρθένων, Μάρθας, Μαρίας, Μαριάμνης, Θέκλας καὶ Ἐνναθᾶ ἐποιήθη ἐν ἔτει 2000 ὑπὸ τοῦ Ἱερομονάχου Κυρίλλου Κογεράκη, προτροπῇ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Ῥεθύμνης καὶ Αὐλοποτάμου κ. ΑΝΘΙΜΟΥ καὶ δημοσιεύεται τὸ πρῶτον ἐνταῦθα. Ἐκ τῆς παλαιᾶς Ἀκολουθίας τῶν ἁγίων Παρθένων, ποιηθείσης ὑπὸ τοῦ Ἁγιορείτου Μοναχοῦ Νήφωνος καὶ δημοσιευθείσης ὑπὸ τοῦ μακαριστοῦ Μητροπολίτου Ῥεθύμνης καὶ Αὐλοποτάμου κυροῦ Τίτου ἐν τῷ *«Κρητικῷ Λειμωναρίῳ»* κατεχωρήθησαν ἐνταῦθα στ΄ ἐν τῇ Λιτῇ Ἰδιόμελα. Σημειωτέον ὅτι ἐν τῇ τοῦ Μοναχοῦ Νήφωνος Ἀκολουθίᾳ αἱ Παρθενομάρτυρες ἐξυμνοῦνται ὡς Κρήτης βλαστήματα, ἐν ἀντιθέσει πρὸς τὸ Περσικὸν Μαρτυρολόγιον, (ὅπερ καὶ ἐλήφθη ὡς πηγὴ διὰ τὴν σύνταξιν τῆς ἐν τῷ παρόντι Ἀκολουθίας) ἐν ᾧ ἀναφέρεται σαφῶς ὡς τόπος γεννήσεως, ἀθλήσεως καὶ ταφῆς αὐτῶν ἡ Περσία.

www.tezaurliturgic.ro



Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος δ΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Δεῦτε τὴν πενταυγῆ, χορείαν τῶν Παρθένων, τιμήσωμεν ἐν ὕμνοις, ὅτι τοῦ μαρτυρίου, ἀγῶσιν ἠνδραγάθησαν.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Ἥλιον τὸν Χριστόν, τῆς δόξης ἐπιγνοῦσαι, τῷ αἰσθητῷ ἡλίῳ, πεντάριθμοι Παρθένοι, λατρείαν οὐκ ἐνείματε.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Ἔχουσα τὸν ναόν, ὑμῶν ὥς τινα κρήνην, τῆς χάριτος Παρθένοι, ἡ Κρήτη μακαρίζει, ὑμᾶς τερπνοῖς ἐν ᾄσμασιν.

Δόξα Πατρί. Τριαδικόν.

Ἄναρχε Βασιλεῦ, Πάτερ Υἱὲ καὶ Πνεῦμα, Τριὰς ἡ Παναγία, ταῖς τῶν ὁσιοάθλων, πρεσβείαις ἡμᾶς φύλαττε.

Καὶ νῦν. Θεοτοκίον.

Ἔρωτι τοῦ ἐκ σοῦ, τεχθέντος ἀποῤῥήτως, Παρθένε αἱ Παρθένοι, ἐβίωσαν ὁσίως, καὶ ξίφει ὑπερήθλησαν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Παρθένοι πεντάριθμοι ὑμεῖς, τὰ τῆς γῆς μισήσασαι, καὶ τὸν Χριστὸν ἀγαπήσασαι, ἀσκήσει πρότερον, μαρτυρίῳ εἶτα, τρανῶς ἠριστεύσατε, καὶ δόξης αἰωνίου ἐτύχετε, Θεῷ πρεσβεύουσαι, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Παρθένοι πεντάριθμοι ὑμεῖς, ἐν Χριστοῦ συνήχθητε, τῷ παναγίῳ ὀνόματι, καὶ τοῦτον ἔχουσαι, ἰσχυρὸν ἐν μέσῳ, ἐχθρῷ ἀντετάξασθε, στεῤῥῶς τῷ δυσωνύμῳ καὶ ἤρατε, νίκης διάδημα, τὴν ὁσίαν ὑμῶν ἄσκησιν, μαρτυρίῳ, γενναίῳ σφραγίσασαι.

Παρθένοι πεντάριθμοι ὑμεῖς, καθαρῶς λατρεύουσαι, δικαιοσύνης τὸν Ἥλιον, Χριστὸν τὸν Κύριον, αἰσθητῷ ἡλίῳ, σέβας οὐκ ἐνείματε, καὶ τῶν πυρσολατρῶν κατῃσχύνατε, πλάνην τὴν ἄθεον, ὁμοφρόνως ὑποκλίνασαι, τοὺς αὐχένας, τῷ ξίφει ὡς εὔτονοι.

Παρθένοι πεντάριθμοι ὑμεῖς, Παῦλον τὸν παράφρονα, φιλαργυρίᾳ νοσήσαντα, στεῤῥῶς ἐλέγξασαι, ὑπ᾽ αὐτοῦ ἀνδρείως, τὴν σφαγὴν ἐδέξασθε, τῷ πόθῳ τοῦ Νυμφίου φλεγόμεναι, ᾧ καὶ ἡρμόσθητε, αὐτῷ προῖκα ὥσπερ ἄφθαρτον, τῶν αἱμάτων, τὰ ῥεῖθρα προσάξασαι.

Παρθένοι πεντάριθμοι Χριστοῦ, Μάρθα καλλιπάρθενε, καὶ Ἐνναθᾶ παναοίδιμε, Θέκλα Μαρία τε, σὺν τῇ Μαριάμνῃ, ὡς ζωῆς εὑράμεναι, νυμφῶνα τὸν φαιδρὸν εἰς κατοίκησιν, διαιωνίζουσαν, ἱκετεύουσαι μὴ παύσησθε, ὑπὲρ πάντων, ἡμῶν τὸν Φιλάνθρωπον.

Παρθένοι πεντάριθμοι ὑμῶν, τὸν ναὸν κατέχοντες, ὡς ἰατρεῖον ἀδάπανον, προθύμως σπεύδομεν, ἐν αὐτῷ καὶ ὕμνοις, ὑμᾶς μακαρίζομεν, κηρύττοντες εὐσήμως τὰ θαύματα, ἃ ἡ τῆς χάριτος, δι᾽ ὑμῶν ἰσχὺς ἐργάζεται, τῆς Τριάδος, εἰς δόξαν καὶ αἴνεσιν.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Σήμερον ἡ πεντάφωτος τῶν Παρθένων λυχνία, τῇ ἐπινεύσει Κυρίου τῆς χάριτος, τοὺς εὐσεβεῖς καταυγάζουσα, πρὸς εὐωχίαν εὐφρόσυνον ἐκάλεσεν· αὗται καὶ γάρ, ὡς τῷ νοητῷ Ἡλίῳ τῆς δικαιοσύνης, ἐφέσει ἀκολουθοῦσαι κρείττονι, καὶ ἀκτησίας τῷ κόσμῳ κεκοσμημέναι, τὴν φιλάργυρον γνώμην τοῦ πρεσβύτου, ἐν ὁμογνώμῳ διαθέσει ἀπώσαντο, καὶ τοὺς τῷ αἰσθητῷ ἡλίῳ λατρεύοντας, ἀθλητικῇ ἐνστάσει κατῄσχυναν· ἀποτμηθεῖσαι δὲ ξίφει τὰς κεφαλάς, καὶ τῷ Νυμφίῳ ὡς προῖκα, τὰ αἵματα προσάξασαι, εἰς τὸν νυμφῶνα τῆς ζωῆς εἰσεληλύθασι, τὴν τῶν παρθένων ἐκείνων δεκάδα συμπληρώσασαι. Ὅθεν αὐτὰς μακαρίζοντες, συμφώνως ἐκβοήσωμεν· πεντάριθμοι τοῦ Κυρίου Παρθένοι καὶ Μάρτυρες, ὡς παῤῥησίαν πολλὴν πλουτοῦσαι, πρεσβεύετε αὐτῷ ἐκτενῶς, τὴν εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.
(Κεφ. μγ΄ 9 - 14).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. λα΄. 10,26)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς ἐπὶ τὸ ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(Κεφ. γ΄ 1-9).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Τῶν πενταρίθμων παρθένων τὴν χορείαν, Μαρίαν Μαριάμνην καὶ Μάρθαν, Θέκλαν τε καὶ Ἐνναθᾶν, εὐσεβοφρόνως σήμερον τιμήσωμεν, ὅτι ἀσκητικοῖς ἱδρῶσι σὺν αἵμασι μαρτυρικοῖς, σωτηρίου χιτῶνα ἑαυταῖς ἐξυφάνασαι, εἰς τὸν φαιδρὸν νυμφῶνα τῆς ζωῆς, λαμπροφόροι εἰσεληλύθασι, τῶν πόνων δεξάμεναι τὰ ἔπαθλα, καὶ θαύματα ἀναπηγάζουσαι, τοῖς προστρέχουσι τῷ τεμένει αὐτῶν, καὶ ἐκ ψυχῆς βοῶσιν· ὁ μυστικὸς νυμφίος τῶν ψυχῶν, Χριστὲ ὁ Θεός, σὺν Πατρί τε καὶ Πνεύματι, Κύριε δόξα σοι.

www.tezaurliturgic.ro



Ἦχος ὁ αὐτός.
Νήφωνος Μοναχοῦ.

Πνευματικὴ πανήγυρις σήμερον ἀδελφοί, σκιρτάτω ἡ κτίσις, χορευέτω ἡ ἀνθρωπότης· συνεκάλεσε γὰρ ἡμᾶς, ἡ πεντάριθμος χορεία τῶν παρθένων, Θέκλα Μαριάμνη καὶ Μαρία, Μάρθα καὶ Ἐνναθᾶ αἱ ὁσιομάρτυρες. Αὗται γὰρ τὰς ἑαυτῶν λαμπάδας, σώας τηρήσασαι, συνεισῆλθον εἰς τὸν οὐράνιον νυμφῶνα, αἰωνίως ἀγαλλόμεναι, μετὰ τοῦ νοητοῦ νυμφίου, Χριστοῦ τοῦ Θεοῦ, τοῦ σῴζοντος τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Σήμερον χαίρει ἡ Ἐκκλησία τοῦ Χριστοῦ, τῇ παναγίᾳ μνήμῃ ὑμῶν, Παρθένοι πεντάριθμοι, καὶ γηθοσύνως πᾶσα ψυχὴ μακαρίζει, ὑμῶν τὰ κατορθώματα· ἑαυτὰς γὰρ τῷ Κυρίῳ, δι᾿ ἀσκητικῆς συντονίας δουλώσασαι, τῷ μιαρῷ τυράννῳ οὐχ ὑπετάγητε, ἀλλὰ αὐτῷ ἐν πίστει ἀντιπαραταξάμεναι, ταῖς τοῦ μιαιφόνου ἱερέως χερσί, τοῦ διαβόλου ὀργάνου γενομένου, ὡς λογικαὶ ἀμνάδες ἐτύθητε. Ὄντως καλὴ ὑμῶν ἡ ὁμολογία, καὶ πανολβία ἡ ἄθλησις, δι᾿ ἧς αἵματα δοῦσαι, τοῦ νυμφῶνος τῆς ζωῆς, κληρονόμοι γεγόνατε. Ἀλλ᾿ ὡς ἔχουσαι παῤῥησίαν πρὸς Θεόν, τὴν εἰρήνην τῷ κόσμῳ αἰτεῖσθε, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος ὁ αὐτός.
Νήφωνος Μοναχοῦ.

Τῶν παρθένων ὁ χορὸς καὶ τῶν Ὁσίων, καὶ ὁ τῶν Μαρτύρων ἅπας τῶν γενναίων, χαίρει ἐπὶ τῇ ἐνδόξῳ μνήμῃ ὑμῶν, καὶ ἀγάλλεται σήμερον· οὐ γὰρ ἠρκέσθητε πανεύφημοι, ἐπὶ μόνῃ παρθενίᾳ καὶ ἀσκήσει, Θεῷ εὐαρεστῆσαι, ἀλλὰ καὶ μαρτυρικοῦ τέλους ἀξιωθῆναι ἠθελήσατε, ἵνα πλείονος παῤῥησίας ἀπολαύσητε ἐν οὐρανοῖς, τοῦ πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.
Τοῦ αὐτοῦ.

Ἀσκήσει τὰ σώματα ὑμῶν, Παρθένοι νεκρώσασαι, καὶ τὰς ψυχὰς ἀρετῶν τῇ ἰσχύϊ νευρώσασαι, ἀφόβως συνεισήλθετε μαρτυρίου τὸ στάδιον, καὶ ἀνδρικῶς διὰ μαστίγων πρότερον ἀγωνισάμεναι, τὴν ὀφρὺν τοῦ τυράννου καθείλετε, καὶ τὸ τοῦ δημίου ἄτοπον ἐλέγξασαι, θάνατον εἰλήφατε, τὸν τῆς ἀθανασίας πρόξενον, ὁσιομάρτυρες Παρθένοι πεντάριθμοι.

Ἦχος δ΄.
Τοῦ αὐτοῦ.

Τὴν πεντάκλωνον σειράν δεῦτε πιστοί, τῶν ἁγίων Ὁσιομαρτύρων καὶ Παρθένων, συνελθόντες ὕμνοις εὐφημήσωμεν· ἡ γὰρ ἀκόρεστος φιλαργυρία, τοῦ δυστήνου ἱερέως, τὸν βρόχον κατ᾿ αὐτοῦ ηὐτρέπισεν, ὥς ποτε καὶ τοῦ Ἰούδα τοῦ προδότου· ἡ δὲ τῶν Παρθένων σταθερότης καὶ ἀκτημοσύνη, τὴν οὐράνιον εὗρε βασιλείαν, καὶ ἐκτήσατο αὐτήν, ὡς κλῆρον ἀναφαίρετον. Αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. α΄.
Τοῦ αὐτοῦ.

Δεῦτε μιμησώμεθα τὰς φρονίμους παρθένους, δεῦτε ὑπαντήσωμεν τῷ φανέντι Δεσπότῃ, πρὸς ἀλλήλας ἔλεγον, καὶ αὗται μετ᾿ ἐκείνων αἱ Παρθένοι, ἑαυτὰς ἑτοιμάζουσαι, εἰς θλίψεις μαρτυρίου, καὶ εἰς τὸν ὑπὲρ Χριστοῦ θάνατον· πέντε γὰρ καὶ αὗται οὖσαι, ὡς ἐκεῖναι τῷ νυμφίῳ Χριστῷ προϋπήντησαν, τὰς λαμπάδας αὐτῶν ἀσβέστους συντηρήσασαι· ὧν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. β΄
Τοῦ αὐτοῦ.

Τῶν ἁγίων Παρθένων ὁ χορός, ὑποδεξάμενος ὑμᾶς ὦ Παρθένοι, χαίρει τῇ ὑμῶν σωτηρίᾳ καὶ χάριτι· οὐ γὰρ ἠρκέσθητε μακάριαι, τῇ ἀζύγῳ βιοτῇ διαιτώμεναι, ἀλλὰ καὶ δι᾿ αἵματος ὑπὲρ Χριστοῦ, τελειωθῆναι ἐσπεύσατε. Ὅθεν τὰς λαμπάδας σώας τηρήσασαι, εἰς τὸν οὐράνιον νυμφῶνα συνεισήλθετε, τοῦ πρεσβεύειν πάντοτε, ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Σήμερον Ἀργυρούπολις τέρπεται, ἐπὶ τῇ ἁγίᾳ μνήμῃ ὑμῶν, Παρθένοι ἀθληφόροι πεντάριθμοι· ὑμῶν γὰρ τὸν πάνσεπτον οἶκον, ὡς ἰατρεῖον ἄμισθον κεκτημένη, ἐν αὐτῷ τοὺς φιλεόρτους συγκαλεῖται, κραυγάζουσα διατόρῳ φωνῇ· ἐθαυμάστωσε Κύριος τὰς Ὁσιομάρτυρας αὐτοῦ, καὶ ἐκ τῆς πηγῆς αὐτῶν ἀναβλύζει ἰάματα, ἐξ ἧς ἀντλοῦντες οἱ χρῄζοντες, δεῦτε αὐτὰς εὐφημήσωμεν λέγοντες· χαίροις Μάρθα, χαίροις Μαρία, χαίροις Μαριάμνη, χαίροις Θέκλα, χαίροις Ἐνναθᾶ, αἱ τὸν Χριστὸν ἀγαπήσασαι, καὶ κόσμου καταφρονήσασαι, καὶ παρ᾿ αὐτοῦ δοξασθεῖσαι, ᾧ καὶ πρεσβεύετε ἐκτενῶς, ὡς Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ τῶν Παρθένων πεντάς, αἱ τῶν παρθένων τῶν φρονίμων ὁμότροποι, ἀσκήσει τε καὶ ἀθλήσει, αἱ τὸν δυνάστην ἐχθρόν, ἐν ὁμοφροσύνῃ καταισχύνασαι· Μαρία ὑπέρκαλλε, Μαριάμνη πανάριστε, Μάρθα τε Θέκλα, Ἐνναθᾶ περιπόθητε, τὰ ἀμάραντα, τῆς Περσίδος βλαστήματα· ἄνθη ἀεὶ τὰ πνέοντα, τὴν θείαν τῆς χάριτος, μυρεψικὴν εὐωδίαν, τῷ χριστωνύμῳ πληρώματι. Ἀεὶ οὖν αἰτεῖσθε, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην, καὶ μέγα ἔλεος.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Χαίροις ἡ τῶν Παρθένων πεντάς, ἡ τῷ ἐλαίῳ τῆς ἁγνείας συμμίξασα, τὸ αἷμα τοῦ μαρτυρίου, καὶ τὰς λαμπάδας ὑμῶν, τῆς ψυχῆς ἀσβέστους συντηρήσασαι· παρθένων τὸ ἔλλειμμα, τῶν μωρῶν διορθώσασαι, καὶ τὴν δεκάδα, ἀληθῶς συμπληρώσασαι, καὶ νυμφῶνος τε, τῆς χαρᾶς κοινωνήσασαι· κάλλος αἱ κατοπτεύουσαι, Χριστοῦ παμμακάριστοι, νῦν τοῦ ὡραίου Νυμφίου, ἐν τῆς ζωῆς τοῖς σκηνώμασιν. Αὐτὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Χαίροις ἡ τῶν Μαρτύρων πεντάς, ἀκτημοσύνην καὶ τελείαν ἀσκήσασαι, καὶ πάθος φιλαργυρίας, ἐν ὁμογνώμῳ φωνῇ, τοῦ δολίου θύτου διελέγξασαι, ὑφ᾽ οὗ ἐταζόμεναι, καὶ δεινῶς μαστιζόμεναι, καὶ ὡς ἀμνάδες, τῇ σφαγῇ ὁδηγούμεναι, ἐπτοήθητε, μηδαμῶς ἀλλ᾽ ἐκράζετε, λόγοις ὑπαμειβόμεναι, ἀλλήλας πρὸς ἄθλησιν, Χριστὸς ἐστι ὡς προέφη, φῶς καὶ ζωὴ καὶ ἀνάστασις. Αὐτὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα Πατρί. Ἦχος β΄.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἐν τῇ μνήμῃ σήμερον, τῶν πενταρίθμων Παρθένων, αἱ ἐν Κρήτῃ εὐσεβεῖς. Δεῦτε μακαρίσωμεν αὐτάς, ἐν ἐγκωμίοις μελῳδοῦντες καὶ κράζοντες· χαίροις Μαρία, χαίροις Θέκλα, χαίροις Μαριάμνη, χαίροις Ἐνναθᾶ, αἱ ὁσίως ἀσκήσασαι, καὶ ἀνδρείως ἀθλήσασαι, τοῦ φιλαργύρου ἱερέως χερσίν· αἱ τῶν θαυμάτων τὰ ῥεῖθρα, τοῖς δεομένοις ἀενάως πελαγίζουσαι, τοῖς καταφεύγουσιν ἐν πίστει, τῷ πανσέπτῳ ὑμῶν ναῷ καὶ βοῶσιν· ὑπεράγαθε Κύριε, ὁ θαυμαστὸς ἐν τοῖς Ἁγίοις σου, δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Παρθενίας τῇ αἴγλῃ, μυστικῶς διαλάμπουσαι, καὶ ἀσκητικῆς συντονίας, εὐκοσμίᾳ κοσμούμεναι, Παρθένοι πεντάριθμοι Χριστοῦ, ὑπήλθετε Μαρτύρων τὴν ὁδόν, καὶ χερσὶ τοῦ ἐξαγίστου, ὥσπερ ἀμνάδες ἐτύθητε. Δόξα τῷ κραταιώσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι δι᾽ ὑμῶν, πᾶσιν ἰάματα.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Τὴν φιλάργυρον, συμφώνως γνώμην, ἀπωθήσασαι, τοῦ ψευδωνύμου, ἱερέως Παρθένοι πεντάριθμοι, ἀσκητικῆς πολιτείας τὸν δίαυλον, μαρτυρικῇ τελευτῇ ἐσφραγίσατε, καὶ εἰσήλθετε, νυμφῶνα ζωῆς εἰς ἄφθαρτον, ἡμῖν τὸν Λυτρωτὴν ἐξιλεούμεναι.

Ἕτερον. Ἦχος ὁ αὐτός.
Εὐαγγέλου ἱερέως.

Τῶν ἁγίων Παρθένων τὴν πεντάδα τιμήσωμεν, Μάρθαν Μαριάμνην Μαρίαν, Ἐνναθᾶν Θέκλαν λέγοντες· παρθένοι τοῦ Νυμφίου Ἰησοῦ, εὑροῦσαι ὡς παστάδα μυστικήν, τὴν οὐράνιον καὶ θείαν ὄντως ζωήν, ἐν ᾗ αὐτῷ ἡρμόσθητε, σπεύσατε συντηρῆσαι καὶ ἡμῖν, φλόγα ψυχῆς λιταῖς ὑμῶν, ἵνα ἐν ἐγρηγόρσει καὶ ἡμεῖς, τύχωμεν χάριτος.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου, σοὶ Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

Ἀπόλυσις.

www.tezaurliturgic.ro



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.
Ἦχος α'. Τὸν τάφον σου.

Ἀμνάδες τοῦ Χριστοῦ, καλλιπάρθενοι κόραι, Μαρία Ἐνναθᾶ, Μαριάμνη καὶ Θέκλα, σὺν Μάρθᾳ ὑμᾶς πάντοτε, εὐλαβῶς μακαρίζομεν, ὅτι ἅπασαν, τὴν τοῦ ἐχθροῦ δυναστείαν, κατεβάλετε, ἀσκητικαῖς ἀριστείαις, καὶ πόνοις ἀθλήσεως.

Δόξα Πατρί. Ὅμοιον.

Οἱ Μάγοι τῷ Χριστῷ, ἐκ Περσίδος ἐλθόντες, προσήνεγκάν ποτε, χρυσὸν λίβανον σμύρναν, ὡς δῶρα ὑπέρτιμα, ὦ Παρθένοι πεντάριθμοι, οὓς μιμούμεναι, ὑμεῖς Περσίδος τὰ ἄνθη, προσηνέγκατε, αὐτῷ τομῇ τοῦ αὐχένος, ἀθλήσεως αἵματα.

Καὶ νῦν. Θεοτοκίον.

Τρωθεῖσαι ὁλικῶς, τοῦ Υἱοῦ σου τῷ πόθῳ, αἱ πέντε ὦ Ἁγνή, καλλιπάρθενοι Κόραι, αὐτῷ ἠκολούθησαν, δι' ὁσίας ἀσκήσεως, καὶ ἀθλήσασαι, καρτερικῶς διὰ ξίφους, ὡς ἐλέγξασαι, φιλαργυρίαν πρεσβύτου, αὐτῷ ἐνυμφεύθησαν.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.
Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγη ἀληθῶς, ὁ ἀνθρωπόλεθρος ἐχθρός, καὶ κατῄσχυνται οἰκτρῶς, πυρσολατρῶν τε ὁ ἑσμός, τῇ ὑμετέρᾳ πεντάριθμοι καρτερίᾳ· πίστει γὰρ ὑμεῖς, οὐκ ἐκλίνατε, εἰς στραγγαλιάς, ὁδοὺς πάνσεμνοι, ἀλλ' ἀνενδότως ἄχρι μαρτυρίου, αὐτοῦ τοῖς ἴχνεσι βαίνουσαι, εἰς καταπαύσεις, τὰς αἰωνίους, μετὰ δόξης εἰσήλθετε.

Δόξα Πατρί. Ἦχος ὁ αὐτός. Ταχὺ προκατάλαβε.

Χριστὸν ἀγαπήσασαι, τὸν ἐραστὴν τῶν ψυχῶν, καὶ τοῦτον πλουτήσασαι, ὡς θησαυρὸν ἐν ψυχῇ, ἀνδρείως ἠλέγξατε, πάθος φιλαργυρίας, τοῦ παράφρονος θύτου, παρ' οὗ σφαγιασθεῖσαι, ὡς ἀμνάδες Παρθένοι, Μαρτύρων νῦν ἐν δόμοις, οἰκεῖτε χορεύουσαι.

Καὶ νῦν. Θεοτοκίον.

Παρθένε πανάχραντε, ἡ τῶν Παρθένων πεντάς, φωτὶ ἐξαστράπτουσα, τῆς παρθενίας φαιδρῶς, καὶ αἴγλῃ ἀθλήσεως, νύμφαι κεκοσμημέναι, τοῦ ἐκ σοῦ σαρκωθέντος, ὤφθησαν Βασιλέως, μεθ' ὧν πρέσβευε Κόρη, αὐτῷ ἡμῖν πταισμάτων, τὴν λύσιν δωρήσασθαι.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Τὴν φιλάργυρον γνώμην, ὡς ἀπωσάμεναι, τοῦ εἰδεχθοῦς ἱερέως, μαρτυρικαῖς ἀγωγαῖς, μαργαρίτην τὸν πολύτιμον ὠνήσασθε, Χριστὸν τὸν Κύριον ἡμῶν, παρ' οὗ θαυμάτων δωρεάς, λαβοῦσαι πλουσιοδώρως, εὐεργετεῖτε Παρθένοι, τοὺς τῷ ναῷ ὑμῶν προστρέχοντας.

Δόξα Πατρί. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὁ ναὸς πεντάριθμοι, ὑμῶν ὑπάρχει, ἰατρεῖον χάριτος, ἐν ᾧ προστρέχοντες πιστῶς, δοξολογοῦμεν τὸν Κύριον, τὸν θαυμαστὸν ἐν Ἁγίοις ὡς γέγραπται.

Καὶ νῦν. Θεοτοκίον.

Παναγία Δέσποινα, σὺν τῇ πεντάδι, τῶν Παρθένων πρέσβευε, τῷ σῷ Υἱῷ ἀνελλιπῶς, ἵνα κινδύνων καὶ θλίψεων, ῥυσθῶμεν πάντες οἱ πόθῳ τιμῶντές σε.

Εἶτα, οἱ Ἀναβαθμοί· ἤτοι τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.
Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

Εὐαγγέλιον, ζήτει τῇ ια' Ἰουλίου.

Ὁ Ν'. Δόξα Πατρί. Ταῖς τῶν Ἀθληφόρων... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Τοῦ μαρτυρίου τὸν ἀγῶνα, ἐν εὐφροσύνῃ τελέσασαι, τοὺς ἐν οὐρανοῖς ἀποκειμένους στεφάνους, πεντάριθμοι Παρθένοι ἐκομίσασθε· τῆς σαρκὸς γὰρ τὴν πρόνοιαν μισήσασαι, καὶ τὴν παρθενίαν ἀλώβητον τηρήσασαι, τῇ φονικῇ μαχαίρᾳ τοῦ ἱερέως, φιλαργυρίᾳ ὡς ὁ Ἰούδας νοσήσαντος, ἀμνάδες ὡς λογικαὶ ἐσφαγιάσθητε. Ὅθεν νῦν ἐν Κυρίῳ ζῶσαι, Μαρία Ἐνναθᾶ καὶ Θέκλα σὺν Μάρθᾳ καὶ Μαριάμνῃ πανεύφημοι, αὐτὸν ἐκτενῶς δυσωπεῖτε, δωρήσασθαι τῇ οἰκουμένῃ τὴν εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

www.tezaurliturgic.ro



Εἶτα, ὁ Κανὼν τῆς Θεοτόκου καὶ οἱ Κανόνες τῶν Παρθένων. Κανὼν πρῶτος τῶν Παρθένων, οὗ ἡ Ἀκροστιχίς· «Τὰς κανονικὰς Παρθένους μέλπω. Κυρίλ(λο)υ».

Ὠδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.

Τὴν πεντάριθμον λυχνίαν, τῶν Παρθένων πιστοί, Μάρθαν Μαρίαν Θέκλαν, σὺν Μαριάμνῃ Ἐνναθᾶν, εὐφημήσωμεν ᾠδαῖς, τελοῦντες φαιδρῶς, αὐτῶν τὴν πανήγυριν, διαλάμπουσαν σήμερον.

Ἀναθεῖσαι τῷ Κυρίῳ, ἑαυτὰς ὁλικῶς, κάλλει καταθελχθεῖσαι, αὐτοῦ τῷ θείῳ τὰς ψυχάς, ὦ Παρθένοι εὐκλεεῖς, στολὴν τὴν φαιδράν, ὁσίας ἀσκήσεως, ἐφοινίξατε αἵμασι.

Συνασκήσασαι ὁσίως, ὁμονοίᾳ ψυχῆς, πέντε σεμναὶ Παρθένοι, συνεπορεύθητε στεῤῥῶς, μαρτυρίου τὴν ὁδόν, καὶ ἴσα χειρί, Θεοῦ ἀπελάβετε, τὰ βραβεῖα πανεύφημοι.

Θεοτοκίον.

Κυριώνυμε Παρθένε, Θεοτόκε ἁγνή, Μῆτερ Θεοῦ Ὑψίστου, τοὺς προσκυνοῦντας εὐσεβῶς, τὸν φρικτόν σου τοκετόν, πρεσβείαις ταῖς σαῖς, ἀεὶ ὡς φιλεύσπλαγχνος, περιφρούρει καὶ φύλαττε.

Κανὼν δεύτερος τῶν Παρθένων, οὗ ἡ Ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις· «Κυρίλλου».

Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Παρθένων, τὴν πενταυγῆ ὁμήγυριν, πιστῶς τιμήσωμεν, Μάρθαν Μαρίαν Θέκλαν Ἐνναθᾶν, Μαριάμνην Χριστοῦ τοῦ Θεοῦ, τὰς εὐκλεεῖς συμμάρτυρας, αὐτῶν τὴν χάριν ἐξαιτούμενοι.

Τῷ θείῳ, πεπυρσευμέναι ἔρωτι, Περσῶν ἐλύσατε, τῆς ἀθεΐας σκότος τὸ δεινόν, καὶ λαμπάδες Χριστοῦ τοῦ Θεοῦ, τῆς πίστεως ἀνήφθητε, τοῦ μαρτυρίου ἀριστεύμασι.

Πανσόφως, τοῦ Λυτρωτοῦ ἀράμεναι, Σταυρὸν τὸν τίμιον, ἀσκητικὴν ἑλόμεναι ζωήν, μαρτυρίου Παρθένοι σεμναί, ἐν αἵματι ἐτύχετε, τοῦ μυστικοῦ ὑμῶν ἐλπίσματος.

Θεοτοκίον.

Κυρία, καὶ βασιλὶς τῆς κτίσεως, ὑπάρχεις Ἄχραντε, τὸν βασιλέα τέξασα Χριστόν, ὃν δυσώπει εὐχαῖς μητρικαῖς, ῥυσθῆναι πάσης θλίψεως, τοὺς μακαρίζοντας τὸν τόκον σου.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Κανὼν πρῶτος. Ὠδὴ γ΄. Δεῦτε πόμα.

Ἄνω σχοῦσαι ὄμμα τῆς ψυχῆς, παρεδράμετε ἅπαντα γῆς τὰ ἐπίκηρα, καὶ τῷ νυμφίῳ Χριστῷ, ἡρμόσθητε Κόραι μυστικῶς, Μαρτύρων ἐν αἵματι.

Νόμῳ πειθαρχήσασαι Θεοῦ, ἱερεῖ φιλαργύρῳ στεῤῥῶς ἀντέστητε, λέγουσαι Κόραι αὐτῷ· ἡμεῖς προαιρούμεθα χρυσοῦ, Χριστὸν τὸν φιλάνθρωπον.

Ὄλβιος ὁ θάνατος ὑμῶν, βιοτῆς πανολβίου πέλων ἐκφράγισμα, δι' οὗ Παρθένοι σεμναί, ζωῆς αἰωνίου ἀληθῶς, τῆς δόξης μετέσχετε.

Θεοτοκίον.

Νύξ καταχειμάζει με παθῶν, ἁμαρτίας ὁ κλύδων, δεινῶς ταράττει με· διὸ αἰτοῦμαι πιστῶς, γαλήνης Ἁγνὴ καὶ φωτισμοῦ, τυχεῖν τῇ πρεσβείᾳ σου.

Κανὼν δεύτερος. Εὐφραίνεται ἐπὶ σοί.

Ἀθλήσασαι ἀνδρικῶς, ἐν συμφωνίᾳ ψυχικῇ ἔνδοξοι, τῷ Λυτρωτῇ τοῦ σύμπαντος, ἐν τοῖς οὐρανοῖς ἐνυμφεύθητε.

Ὡς θύματα λογικά, ἀποτμηθεῖσαι κεφαλὰς πάνσεμνοι, τῷ τῆς ζωῆς ἄρχοντι, καὶ Θεῷ ἡμῶν προσηνέχθητε.

Ἐνστάσει ἀθλητικῇ, ἐταπεινώσατε ἐχθρῶν φρύαγμα, καὶ τοῦ δεινοῦ δράκοντος, τὰς μηχανουργίας ἐλύσατε.

Θεοτοκίον.

Ὑμνοῦμεν σε εὐλαβῶς, χαῖρε βοῶντές σοι ἁγνὴ Δέσποινα, ὅτι Χριστὸν ἔτεκες, ἀπερινοήτως τὸν Κύριον.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Τοῦ νοσήσαντος, φιλαργυρίᾳ, ἀπωσάμεναι, τὴν συμβουλίαν, τῇ τοῦ ξίφους ἀκμῇ παρεδόθητε, καὶ εὐπρεπῶς τὴν στολὴν τῆς ἀσκήσεως, μαρτυρικοῖς πορφυρώσασαι αἵμασι, ἐξαστράπτουσαι, Μαρτύρων τῇ ὡραιότητι, Χριστῷ ὦ Παρθένοι ἐνυμφεύθητε.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Χαῖρε Δέσποινα, εὐλογημένη, ἡ κυήσασα, ἀνερμηνεύτως, τὸν Ποιητὴν καὶ Δεσπότην τῆς κτίσεως, οὗ τῇ ἀγάπῃ πεντὰς ἡ ὑπέρτιμος, τῶν καλλινίκων Παρθένων ἐνήθλησεν. Αὐτῷ πρέσβευε, ἀεὶ σὺν αὐταῖς δωρήσασθαι, πταισμάτων ἱλασμόν τοῖς εὐφημοῦσί σε.

Κανὼν πρῶτος. ᾨδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.

Ἰσχυροτάτῳ λογισμῷ, ὡς δυναμούμεναι Σταυροῦ, τῇ ἀκαταλύτῳ δυνάμει, κατ᾽ ἐχθροῦ πεντάριθμοι, Παρθένοι ἐχωρήσατε, καὶ τούτου τὸ μετέωρον θράσος, μαρτυρικῶς ἐν τῇ γῇ κατηδαφίσατε.

Καταφρονήσασαι πληγῶν, καὶ τοῦ θανάτου ἀνδρικῶς, ἀνοσιωτάτου πρεσβύτου, ταῖς χερσὶν ἐσφάγητε, ὥσπερ ἀμνάδες κράζουσαι· θνήσκομεν ἵνα ζήσωμεν ἄφρον, τὴν ἐν Κυρίῳ ζωήν, ἣν σὺ ἀπώλεσας.

Ἀσκητικῶς τῷ Λυτρωτῇ, ἀκολουθήσασαι Χριστῷ, τούτῳ ἐνυμφεύθητε πίστει, ὥσπερ προῖκα αἵματα, αὐτῷ σεμναὶ προσάξασαι, Θέκλα τε Μαριάμνη Μαρία, σὺν Ἐνναθᾷ τῇ σεμνῇ, Μάρθα ἡ ἔνθεος.

Θεοτοκίον.

Σῶσον εὐχαῖς σου μητρικαῖς, τοὺς πεποιθότας ἐπὶ σέ, Δέσποινα Παρθένε Μαρία, καὶ ὑμνοῦντας πάντοτε, τὸν ζωηφόρον τόκον σου, δι᾽ οὗ τῆς τοῦ Ἀδὰμ καταδίκης, γένος ἐῤῥύσθη βροτῶν, θεοχαρίτωτε.

Κανὼν δεύτερος. Τὴν ἀνεξιχνίαστον.

Πίστεως ἡδόμεναι τῷ γλυκασμῷ, τὰς πικρὰς βασάνους πεντάριθμοι, ὁμοφροσύνῃ, ὑπεμείνατε ψυχῆς, καὶ ὤφθητε ἀκλόνητα, τῆς θεοσεβείας προπύργια.

Ἴχνεσι ἑπόμεναι ὄντως Χριστοῦ, καὶ αὐτοῦ πειθόμεναι ῥήμασι, βίου τὴν τύρβην, κατελίπετε πιστῶς, καὶ ἄλλον βίον εὕρετε, ἄθλοις μαρτυρίου πεντάριθμοι.

Χαίρει Ἀργυρούπολις νῦν ἐφ᾽ ὑμᾶς, ὥσπερ κρήνην ἔχουσα χάριτος, ὑμῶν Παρθένοι, τὸν σεβάσμιον ναόν, ἐν ᾧ συναθροιζόμενοι, ᾄσμασι ὑμᾶς μεγαλύνομεν.

Θεοτοκίον.

Ῥῦσαι πάσης θλίψεως Μῆτερ ἡμᾶς, πάσης δυσπραγίας κακώσεως, καὶ τοῦ δυνάστου, τῶν δεινῶν ἐπιδρομῶν, ὅτι εἰς σὲ ἐλπίζομεν, τὴν τὸν Θεὸν Λόγον κυήσασαν.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Κανὼν πρῶτος. ᾨδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Προσέλθωμεν πάντες προθύμως, ἐπὶ τὸν ἅγιον οἶκον, Παρθένων τῶν πενταρίθμων, καὶ αὐταῖς βοήσωμεν· ὦ Ἀθληφόροι χαίρετε, νύμφαι Χριστοῦ καλλιπάρθενοι.

Ἀνεῖλεν ὁ θύτης ὁ τάλας, φιλαργυρίᾳ νοσήσας, Ἰούδας ὡς ὁ προδότης, μὴ εἰδὼς ὃ ἔπραττεν, ὑμᾶς Παρθένοι πάνσεμνοι, καὶ τῷ Θεῷ καθιέρωσε.

Ῥαβδίσματα ὕβρεις αἰκίας, καὶ χαλεπὰς τιμωρίας, Παρθένοι ὑπενεγκοῦσαι, τὴν τομὴν ἐδέξασθε, τὴν τῶν αὐχένων χαίρουσαι· ὅθεν Χριστῷ ἐνυμφεύθητε.

Θεοτοκίον.

Θεόνυμφε Μῆτερ τὸν Λόγον, σεσαρκωμένον εἰς κόσμον, ἐκύησας σωτηρίαν· διὸ πάντες ᾄδομεν, εὐγνωμοσύνης ὕμνον σοι, χάριν θερμῶς ἐξαιτούμενοι.

Κανὼν δεύτερος. Σὺ Κύριε μου φῶς.

Τὴν νέκρωσιν Χριστοῦ, ἱερῶς εἰκονίζουσαι, ἠσκήσατε ὑπὲρ φύσιν, καὶ ἠθλήσατε σθένει, πεντάριθμοι τῆς χάριτος.

Σωφρόνως καὶ εὐσεβῶς, βιοτεύσασαι πρότερον, ἐσύστερον μαρτυρίου, ἐν τοῖς ἄθλοις Παρθένοι, οὐράνιαι ἐδείχθητε.

Ἱδρύσασαι ἑαυτάς, ἐν τῇ πίστει πεντάριθμοι, φορὰν ἀλγεινῶν βασάνων, ἀσαλεύτῳ ἐν στάσει, καρδίας ὑπεμείνατε.

Θεοτοκίον.

Ἱλέωσαι συμπαθῶς, τὸν ἐκ σπλάγχνων σου Κύριον, Παρθένε ἵνα ῥυσθῶμεν, τοῦ πυρὸς τῆς γεέννης, οἱ πόθῳ εὐφημοῦντές σε.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Κανὼν πρῶτος. ᾨδὴ στ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Ἐνθέως ἀνευφημοῦμεν ὑμᾶς, Μαριάμνη Μάρθα Θέκλα Μαρία, καὶ ἔνδοξε Ἐνναθᾶ οἱ πιστοί,

www.tezaurliturgic.ro



καταφεύγοντες, τῷ σεπτῷ ὑμῶν ναῷ, ἵνα λάβωμεν χάριν.

Ναμάτων ἐμφορηθεῖσαι ζωῆς, τῆς ἀψεύστου ὡς ἀθλήσασαι πίστει, θαυμάτων ὦ Ἀθληφόροι πηγάς, ἀναβλύζετε, τοῖς γεραίρουσιν ὑμῶν, τὰς διττὰς ἀριστείας.

Ὃς πρῴην ὑμῖν ὑπῆρχε πατήρ, ἀναδέδεικται φονεὺς Ἀθληφόροι, νοσήσας φιλαργυρίᾳ δεινῶς, καὶ ἱέρευσεν, ὥσπερ σφάγια ὑμᾶς, καθαρὰ τῷ Σωτῆρι.

Θεοτοκίον.

Ὑμνεῖ σε πᾶσα ἡ κτίσις ἀεί, ὅτι ἔτεκες ἀσπόρως Παρθένε, τὸν Λόγον τοῦ προανάρχου Πατρός, οὗ τῷ ἔρωτι, ὑπερήθλησαν στεῤῥῶς, καλλιπάρθενοι κόραι.

Κανὼν δεύτερος. Τὴν θείαν ταύτην.

Τὸν πρὶν ἀφρόνως καυχώμενον, τὴν γῆν τε ἐξαλείφειν καὶ θάλασσαν, ἐταπεινώσατε, καὶ ὡς στρουθίον παιζόμενον, ἐδείξατε εἰς τέλος, Παρθενομάρτυρες.

Ἰούδας ἄλλος γεγένηται, ὑμῖν ὁ ἱερεὺς ὁ φιλάργυρος, Παρθενομάρτυρες, Χριστοῦ χρυσὸν ὁ ἐπίβουλος, ἀφρόνως προτιμήσας, φθόνῳ τοῦ ὄφεως.

Μαρίαν Θέκλαν ὑμνήσωμεν, σὺν Μάρθᾳ Ἐνναθᾶν Μαριάμνην τε, ὅτι εὑράμεναι, ζωῆς ἀλλήκτου τὴν ἄβυσσον, ὑπὲρ ἡμῶν ἀπαύστως, Χριστῷ πρεσβεύουσι.

Θεοτοκίον.

Λαμπὰς ὑπάρχεις Πανάχραντε, φωτὸς τοῦ ἀνεσπέρου τῆς χάριτος, ἡμᾶς φωτίζουσα, τοὺς ἐπὶ σὲ καταφεύγοντας, ὡς τοῦ Θεοῦ Μητέρα, ἀειμακάριστον.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀσκητικῇ περιαστράπτουσαι αἴγλῃ, μαρτυρικῷ καταυγαζόμεναι φέγγει, νυμφῶνα τὸν οὐράνιον, οἰκεῖτε εὐκλεῶς, Ἐνναθᾶ πανεύφημε, Μαριάμνη Μαρία, Θέκλα τε ἡ ἔνδοξος, καὶ ἡ πάνσεμνος Μάρθα, ὑπὲρ ἡμῶν πρεσβεύουσαι Χριστῷ, ἵνα ῥυσθῶμεν κινδύνων καὶ θλίψεων.

Ὁ Οἶκος.

Τὴν σκοτισθεῖσάν μου ψυχήν, ἀκτῖσι φαεσφόροις τοῦ θείου ἐλέους σου, καταύγασον Οἰκτίρμον, καὶ δός μοι λόγον Λόγε τῷ στόματι, ὑμνῆσαι τὸν πεντάριθμον χορὸν τῶν Παρθένων σου, Μαρίαν Ἐνναθᾶν Μαριάμνην τε, καὶ Μάρθαν τὴν ἔνδοξον σὺν τῇ Θέκλᾳ, τῆς Περσίδος τὰ βλαστήματα, καὶ Κρητῶν τὰ αὐχήματα· αἵτινες τῶν πυρσολατρῶν τὴν ἄθεον πλάνην, τῇ δυνάμει σου στεῤῥῶς καταβαλοῦσαι, ἐν τῆς χαρᾶς τῷ νυμφῶνι εἰσήλασαν, ὑπὲρ ἡμῶν πρεσβεύουσαι ἀεί, ἵνα ῥυσθῶμεν κινδύνων καὶ θλίψεων.

Μηνολόγιον.

Τῇ Θ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν ἁγίων ἐνδόξων πέντε κανονικῶν Παρθένων, Μαρίας, Μαριάμνης, Μάρθας, Θέκλας καὶ Ἐνναθᾶ, τῶν ἐν Περσίᾳ μαρτυρικῶς τελειωθεισῶν.

Στίχοι.

Χριστὸν ποθούσας πέντε Παρθένους μόνον
Ἀνεῖλε πατὴρ φιλοχρήματος πάνυ.

Ἕτεροι.

Τὰς κανονικὰς διὰ φιλαργυρίαν
Ἔκτεινε θύτης· ὦ θύτου ταλαντάτου!

Ἐνάτῃ Παρθένους ἀνόσιος ἔκτεινεν θύτης.

Συναξάριον.

Αὗται μετήρχοντο τὸν ἀσκητικὸν δίαυλον, παντοίαις ἀρεταῖς κεκοσμημέναι, ἐν τοῖς χρόνοις τοῦ τῶν Περσῶν βασιλέως Σαβωρίου, ὑποτασσόμεναι Παύλῳ τινὶ πρεσβυτέρῳ, ἀνδρὶ μὲν δόξαν εὐλαβείας ἔχοντι, κακοτρόπῳ δὲ εἰς ἄκρον καὶ φιλαργύρῳ. Οὗτος καταμηνυθεὶς ὑπὸ τοῦ ἀρχιμάγου τῷ βασιλεῖ Σαβωρίῳ, ὡς περιουσίαν πολλὴν ἔχων, καὶ δεδοικὼς τὴν δήμευσιν αὐτῆς, ἠρνήσατο τὸν Χριστὸν καὶ ὄργανον τοῦ διαβόλου γενόμενος, ἔλεγε ταῖς Παρθένοις ἀκολουθῆσαι τῇ ἀσεβείᾳ αὐτῷ. Ἀλλ' αἱ μακαρίαι, ἐπαγγελιῶν παροχαῖς καὶ βασάνων ἀπειλαῖς μὴ χαυνωθεῖσαι, ἐν ἀνδρείᾳ τὴν πίστιν αὐτῶν ὡμολόγησαν· διὸ ξίφει μετὰ πολλὰς βασάνους ὡς λογικαὶ ἀμνάδες ἐτύθησαν ταῖς φονικαῖς χερσὶ τοῦ δυστήνου πρεσβυτέρου Παύλου, ὅστις ἐνδίκως ὑπὸ τῶν ὑπηρετῶν τοῦ βασιλέως τὰ ἴσα τῆς κακίας αὐτοῦ λαμβάνων, βρόγχῳ ἐθανατώθη, καὶ ἀποῤῥιφθεὶς ἔξω τῆς πόλεως κατάβρωμα ἐγένετο κυνῶν τε καὶ ὀρνέων.

Ναὸς τῶν ὁσιομαρτύρων πέντε Παρθένων ὑπάρχει ἔξωθεν τοῦ χωρίου τῆς Ἀργυρουπόλεως τῆς Ἐπαρχίας τοῦ Ἁγίου Ῥεθύμνης, ἐν ᾧ τελεῖται ἡ σύναξις αὐτῶν καὶ ἐν ᾧ πηγὴ ἁγιάσματος ἀναβλύζει, νόσους ἀπελαύνουσα καὶ πάθη χαλεπὰ ἐξιωμένη διὰ τῆς χάριτος καὶ πρεσβείας αὐτῶν εἰς δόξαν τοῦ ἐν Τριάδι Θεοῦ, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος.

www.tezaurliturgic.ro



Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Ὁ Παῖδας ἐκ καμίνου.

Σωτῆρα ἐπιγνοῦσαι φιλάνθρωπον, Χριστὸν καλλιπάρθενοι, ἅπασαν αὐτῷ, ἀπὸ νεότητος ψυχῆς, ἀνετείνατε ὄντως τὴν ἔφεσιν, καὶ δίαυλον μαρτυρίου γενναίου, καλῶς συνεπορεύθητε.

Μαρίαν Μαριάμνην τιμήσωμεν, καὶ Θέκλαν φιλέορτοι, σὺν τῇ Ἐνναθᾷ, Μάρθαν τὴν ἔνδοξον ὁμοῦ, τὰς παρθένους Χριστοῦ καὶ συμμάρτυρας· ἀπαύστως γὰρ ἀπειρόδωρον χάριν, ἡμῖν ὑπερεκβλύζουσι.

Εὐψύχως τοῦ Σωτῆρος τὸ ὄνομα, Χριστοῦ οὐκ ἠρνήσασθε, καὶ καρτερικῶς, ξίφει τὰς κάρας δι' αὐτόν, ὦ Παρθένοι σεμναὶ ἀπετμήθητε· διὸ φωτοειδεστάτου νυμφῶνος, τῆς δόξης ἠξιώθητε.

Θεοτοκίον.

Λαόν σου Θεομῆτορ διάσωζε, ἐχθροῦ τοῦ ἀλάστορος, τούτου τὰς βουλάς, διασκεδάζουσα τῇ σῇ, μητρικῇ προμηθείᾳ καὶ χάριτι· ὑπάρχεις γὰρ θεϊκῆς εὐσπλαγχνίας, ταμεῖον ἱερώτατον.

Κανὼν δεύτερος. Ἀβραμιαῖοι ποτέ.

Τὰς τοῦ Δεσπότου Χριστοῦ, ἠγλαϊσμένας νύμφας, τῆς Ἐκκλησίας τὰ αὐχήματα, τὰς πέντε συμμάρτυρας, ἐν ἐγκωμίοις φαιδροῖς, ὑμνήσωμεν συμφώνως.

Τοῦ παλαιοῦ πτερνιστοῦ, καταβαλοῦσαι ὄμμα, σεμναὶ Παρθένοι τὸ μετέωρον, Χριστοῦ ἐδοξάσατε, τοῦ βασιλέως ἡμῶν, τὸ ὄνομα ἐν κόσμῳ.

Ἐν τῷ νυμφῶνι ζωῆς, χοροβατοῦσαι ἅμα, Ὁσίοις ἔνδοξοι καὶ Μάρτυσι, Χριστὸν ἱκετεύετε, ὑπὲρ ἡμῶν ἐκτενῶς, δεινῶν ἵνα ῥυσθῶμεν.

Θεοτοκίον.

Λαόν σου ὄντας ἡμᾶς, Θεοκυῆτορ Μῆτερ, ἐκ πολεμίων διαφύλαττε, καὶ σῷζε πρεσβεύουσα, τὸν σαρκωθέντα φρικτῶς, ἐκ σῶν σεπτῶν αἱμάτων.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Αὕτη ἡ κλητή.

Πάσας γεηράς, ἀπολαύσεις λιποῦσαι, ἐδράμετε ὀπίσω, τοῦ Λυτρωτοῦ ὦ Παρθένοι, καὶ αὐτῷ μυστικῶς, ἐν Μαρτύρων συνηρμόσθητε αἵματι· διὸ ὑπὲρ κόσμου, αὐτὸν ἐκδυσωπεῖτε.

Ὢ τῆς ὑπὲρ νοῦν, ὑμῶν θείας ἀγάπης! δι' ἧς εἰς τέλος μίσους, τὰς συμπλοκὰς Ἀθληφόροι, τῶν ἀνόμων ἐχθρῶν, ἐν δυνάμει Ἰησοῦ διελύσατε, παρ' οὗ καὶ τὸ στέφος, ἐλάβετε τῆς δόξης.

Κόσμου ἑαυτάς, ἀνωτέρας ἀσκήσει, τηρήσασαι Παρθένοι, ὑπερκοσμίου εὐκλείας, ἐν νυμφῶνι Θεοῦ, δι' ἀγώνων μαρτυρίου ἐτύχετε, αἰτούμεναι πᾶσι, ἡμῖν τὴν σωτηρίαν.

Θεοτοκίον.

Ὕπερθεν ἡμᾶς, ἐποπτεύουσα Μῆτερ, μὴ παύσῃ δυσωποῦμεν, οἱ ταπεινοί σου ἱκέται· καθ' ἡμῶν γὰρ ἀεί, ὁ παγκάκιστος δυνάστης ἐπαίρεται, καὶ πρὸς ἀπωλείας, ὠθεῖ ἡμᾶς τὸ βάθος.

Κανὼν δεύτερος. Λυτρωτὰ τοῦ παντός.

Λαμπρυνθεῖσαι φωτὶ τῆς ἀσκήσεως, μαρτυρίου ἀγῶσι πεντάριθμοι, φαιδρῶς ὑπερηστράψατε, καὶ Φωτὶ τῷ μεγάλῳ, ἐν τοῖς ὑψίστοις, σὺν Ἁγίων παρέστητε τάξεσι.

Ἐπικήρου ζωῆς διαπλεύσασαι, ἐγκρατείας ἱστίῳ τὴν θάλασσαν, Μαρτύρων ἠξιώθητε, οὐρανίου γαλήνης, χερσὶ κτανθεῖσαι, ἀνοσίου πρεσβύτου πεντάριθμοι.

Ἰατρεῖον παθῶν ἀδαπάνητον, καὶ ταμεῖον ἀκένωτον χάριτος, ὑπάρχει ὁ σεβάσμιος, ὑμῶν πάνσεμνοι οἶκος, ἐν ᾧ ἑστῶτες, τὴν ὑμῶν παῤῥησίαν γεραίρομεν.

Θεοτοκίον.

Ὁ ἐκ σοῦ σαρκωθεὶς ὑπὲρ ἔννοιαν, ἀφθαρσίαν ἡμῖν ἐδωρήσατο· διὸ σε μακαρίζομεν, εὐλαβῶς ἐκβοῶντες· χαῖρε Παρθένε, τῆς Θεότητος θρόνε πυρίμορφε.

Καταβασία. Παῖδας εὐαγεῖς.

Κανὼν πρῶτος. Ὠδὴ θ΄. Φωτίζου, φωτίζου.

Ῥοαῖς τῶν αἱμάτων, τῶν ἀσεβῶν πυρσολατρῶν, ὦ Παρθένοι τῆς πλάνης, τὸ πῦρ κατεσβέσατε, καὶ ἐν αὐταῖς, τὸν ἀρχαῖον ἐχθρόν, τὸν πτερνιστήν, τῆς μητρὸς τοῦ γένους, τῶν γηγενῶν ἐβυθίσατε.

Ἰδοὺ εὐφροσύνως, συναθροισθέντες οἱ πιστοί, τὰς ὑμῶν ἀριστείας, Παρθένοι γεραίρομεν, ἐν αἷς Χριστοῦ, τοῦ Σωτῆρος ἡμῶν, τὸ θαυμαστόν, ὄνομα ἀξίως, ἐν γῇ Περσῶν ἐδοξάσατε.

www.tezaurliturgic.ro



Λαμπάδες Παρθένοι, τοῦ θείου ἄνθρακος Χριστοῦ, ἀνεδείχθητε ἄθλοις, ἐμπρέψασαι πίστεως, Μάρθα κλυτή, Μαριάμνη σεμνή, σὺν Ἐνναθᾶ, Θέκλα καὶ Μαρία, ᾧ ὑπὲρ κόσμου πρεσβεύετε.

Θεοτοκίον.

Ὑπέραγνε Κόρη, Παρθένε Μήτερ τῆς ζωῆς, Θεοτόκε Μαρία, νύμφη ἀπειρόγαμε, τοὺς ἐπὶ σέ, πεποιθότας θερμῶς, ῥῦσαι πυρός, τῆς φρικτῆς γεέννης, ταῖς μητρικαῖς σου δεήσεσι.

Κανὼν δεύτερος. Λίθος ἀχειρότμητος.

Μάρθαν Μαριάμνην Μαρίαν, σὺν Ἐνναθᾷ τῇ πανολβίᾳ, Θέκλαν τοῦ Χριστοῦ τὰς ἀμνάδας, ἐν εὐφροσύνῃ, φιλομαρτύρων δῆμοι, ἐν ὕμνοις εὐφημήσωμεν, αὐτῶν πρεσβείαις ὡς φρουρούμενοι.

Λύθροις τῶν οἰκείων αἱμάτων, ὑπερφυῶς ὡραιωθεῖσαι, τῷ ὡραίῳ κάλλει νυμφίῳ, Χριστῷ Παρθένοι, ἐν οὐρανίοις δόμοις, παρίστασθε αἰτούμεναι, χάριν ἡμῖν καὶ θεῖον ἔλεος.

Χαίρετε Περσίδος τὰ ἄνθη, τῆς Ἐκκλησίας αἱ λαμπάδες, Μάρθα Ἐνναθᾶ Μαριάμνη, Μαρία Θέκλα Παρθένοι πάνσεμνοι, στεφάνῳ τῆς ἀσκήσεως, σὺν μαρτυρίου αἱ κοσμούμεναι.

Θεοτοκίον.

Ὕμνοις σε ἀεὶ εὐφημοῦμεν, τὴν σωματώσασαν τὸν Λόγον, χαῖρε εὐλαβῶς ἐκβοῶντες, Θεοκυῆτορ ἁγνὴ Μητρόθεε, ἡ τῶν πιστῶν ἀντίληψις, καὶ προστασία ἀκαταίσχυντος.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Συνάριθμοι ὑπάρχουσαι, τῶν φρονίμων παρθένων, ἐλαίῳ τῆς ἀσκήσεως, ἐτηρήσατε σῶας, ὑμῶν ψυχῆς τὰς λαμπάδας, καὶ πιάνασαι ταύτας, τοῦ μαρτυρίου αἵμασιν, εἰς χαρᾶς τὸν νυμφῶνα, τὸν φωταυγῆ, θαυμαστῶς εἰσήλθετε ἀθλοφόροι, Μαρία Μάρθα, Θέκλα τε, Ἐνναθᾶ Μαριάμνη.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Ἡ νῆσος Κρήτη γάνυται, πλουτοῦσα ὡς ἀείρυτον, χάριτος κρήνην Παρθένοι, ὑμῶν τὸν ἅγιον οἶκον· ἐν ᾧ πιστῶς προστρέχοντες, λαμβάνομεν ἰάματα, τὸν Κύριον δοξάζοντες, τὸν θαυμαστὸν ἐν Ἁγίοις, ὡς ἔφη ὁ Προφητάναξ.

Θεοτοκίον.

Μαρία θεονύμφευτε, φρικτῶς ἡ σωματώσασα, Πατρὸς τὸν ἄναρχον Λόγον, δι' ἀγαθότητα ἄκραν, τοὺς μόνην Θεοτόκον σε, ἐν πίστει μακαρίζοντας, ὡς εὐμενὴς οἰκείωσαι, τῇ μητρικῇ σου πρεσβείᾳ, τῷ ἐν Τριάδι Κυρίῳ.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὰς τοῦ Κυρίου Παρθένους, καὶ καλλιμάρτυρας, τὰς ἐν ἀσκήσει πρώην, εἶτα δὲ ἐν ἀθλήσει, καλῶς ἀριστευσάσας ἐπὶ τῆς γῆς, εὐφημήσωμεν κράζοντες· σκέπετε πάντας αἱ πέντε τοὺς τὴν ὑμῶν, ἑορτὴν πανηγυρίζοντας.

Συνδεδεμέναι τῇ πίστει, Χριστοῦ πεντάριθμοι, Παρθένοι ὁμοθύμῳ, συνηθλήσατε γνώμῃ, καὶ πάσας τοῦ Βελίαρ τὰς μηχανάς, ἀνδρικῶς συμπατήσασαι, νῦν συγχορεύετε πλάτος εἰς οὐρανοῦ, κατὰ μέθεξιν θεούμεναι.

Φιλαργυρίᾳ νοσήσας, θύτης ὁ δόλιος, καὶ τοῦ Χριστοῦ ἀφρόνως, τὸν χρυσὸν προτιμήσας, ὑμᾶς ὥσπερ ἀμνάδας πρὸς τὴν σφαγήν, ὦ Παρθένοι ὡδήγησεν, ἣν ὑποστᾶσαι ἀνδρείως θείας ζωῆς, τῆς τρυφῆς ἐκοινωνήσατε.

Δαψιλῶς τὸν Δεσπότην ὡς ὑπομείνασαι, Θέκλα Μαρία Μάρθα, Ἐνναθᾶ Μαριάμνη, ἡμῖν αὐτὸς προσέσχε καὶ δωρεαῖς, τῶν θαυμάτων ἐτίμησε, δι' ὧν λυτροῦσθε ἐκ νόσων τοὺς τῷ ναῷ, τῷ πανσέπτῳ ὑμῶν σπεύδοντας.

Δόξα Πατρί. Ἦχος πλ. α΄.

Τὴν πεντάριθμον χορείαν τῶν κανονικῶν Παρθένων, εὐφημήσωμεν λαοί, ὅτι τοῦ δολιόφρονος θύτου, τῇ ἐξαγίστῳ γνώμῃ ἀντιταξάμεναι, καὶ τῶν πυρσολατρῶν τὰ τεθρεῖα, ἐνστάσει μαρτυρικῇ καταπατήσασαι, προθύμως τὰ αἵματα αὐτῶν, διὰ Χριστὸν τὸν Κύριον ἐξέχεαν, καὶ τὸν θεῖον νυμφῶνα ἐκληρονόμησαν· ὄντως καλὴ αὐτῶν ἡ ὁμολογία! δι' ἧς θαυμάτων τὰς δωρεὰς ἐκομίσαντο, λυτρούμεναι ἐκ νόσων χαλεπῶν, συμφορῶν τε πολυτρόπων καὶ θλίψεων, τοὺς καταφεύγοντας εὐλαβῶς, ἐπὶ τὸν πάνσεπτον αὐτῶν οἶκον. Ὅθεν συμφώνως οἱ πιστοὶ ἐκβοήσωμεν· Παρθένοι πεντάριθμοι, Μάρθα Θέκλα Ἐνναθᾶ, καὶ Μαρία σὺν

www.tezaurliturgic.ro



Μαριάμνη, αἱ ἐν Περσίδι ἀνδρείως ἀθλήσασαι, ἐν δὲ τῇ Κρήτῃ ἐξαιρέτως τιμώμεναι, πρεσβεύετε ἀεὶ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῶν Παρθένων ἡ γ΄ καὶ στ΄ ᾠδή. Ἀπόστολον, ζήτει τῷ Σαββάτῳ πρὸ τῶν Φώτων καὶ Εὐαγγέλιον, ζήτει τῷ ιζ΄ Σαββάτῳ τοῦ Ματθαίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις τῶν Παρθένων πεντὰς κλυτή, Μάρθα τε Μαρία, Μαριάμνη καὶ Ἐνναθᾶ, σὺν Θέκλᾳ Κυρίου, αἱ ἄσπιλοι ἀμνάδες, αἱ τῶν Περσῶν τὴν πλάνην, καταπατήσασαι.

Ἕτερον.

Τοὺς προσερχομένους πανευλαβῶς, πεντάριθμοι Κόραι, τῷ ἁγίῳ ὑμῶν ναῷ, ἐκ νόσων παντοίων, κινδύνων πολυτρόπων, καὶ πάσης ἐπηρείας, ἐχθροῦ λυτρώσασθε.

Ἕτερον. Εὐαγγέλου ἱερέως.

Δέξασθε Παρθένοι πανευκλεεῖς, τήνδε ἐκ ψυχῆς μου, πανευγνώμονα προσφοράν, δι᾿ ἧς μεγαλύνω, τὴν θείαν προμηθείαν, ἣν τῷ ἀχρείῳ δούλῳ, κἀμοὶ ἐδώκατε.

*Δίστιχον.*

*Τῶν κανονικῶν ὁ Κύριλλος Παρθένων*
*Ὕμνησε πιστῶς ὑπέρτιμον πεντάδα.*